www.tezaurliturgic.ro

ΔΡΟΣ ΧΑΡΑΛΑΜΠΟΥΣ Μ. ΜΠΟΥΣΙΑ

4/8

# ΑΚΟΛΟΥΘΙΑ ΤΩΝ ΑΓΙΩΝ ΕΝΔΟΞΩΝ ΑΘΛΟΦΟΡΩΝ ΕΠΤΑ ΠΑΙΔΩΝ ΤΩΝ ΕΝ ΕΦΕΣΩ

ΑΘΗΝΑΙ 2000

www.tezaurliturgic.ro

# ΑΚΟΛΟΥΘΙΑ

## ΤΩΝ ΑΓΙΩΝ ΕΝΔΟΞΩΝ ΑΘΛΟΦΟΡΩΝ

# ΕΠΤΑ ΠΑΙΔΩΝ ΤΩΝ ΕΝ ΕΦΕΣΩ

**Ἡ μνήμη αὐτῶν τελεῖται τῇ Δ΄ Αὐγούστου
καὶ τῇ ΚΒ΄ Ὀκτωβρίου.**

**Ποίημα Δρος Χαραλάμπους Μ. Μπούσια**

## ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

**Μετὰ τὸν Προοιμιακὸν εἰς τὸ "Κύριε ἐκέκραξα" ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.**

**Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.**

Τῆς ἑπταρίθμου Ἐφέσου
Παίδων συνάξεως
τὴν μνήμην ἐκτελοῦντες
οἱ σαφῶς προσδοκῶντες
τὴν ἔγερσιν ἐκ τάφου πάντων νεκρῶν
εὐλαβῶς ἀνακράζομεν·
Χαίρετε, μάρτυρες πίστεως εὐσταλεῖς,
προτυπώσεις ἀναστάσεως.

Ἀφθάρτου δόξης ἐν πόλῳ
σεπτοὶ συνέστιοι,
ἑπτὰ Ἐφέσου Παῖδες,
ἀπελαύνετε πίστιν
νεκρὰν ὑμῶν πρεσβείαις πρὸς τὸν Θεὸν
καὶ τὴν πίστιν κρατύνετε
τῶν ἐλπιζόντων ἀνάστασιν χοϊκῶν
καὶ ζωὴν τὴν αἰωνίζουσαν.

www.tezaurliturgic.ro

Ἑπτὰ Ἐφέσιοι Παῖδες,
οἱ τελευτήσαντες
ὁμοῦ ἐντὸς σπηλαίου,
τοῦ Κυρίου προστάξει
ἠγέρθητε ἀφράστως καὶ ὥσπερ χθὲς
καθυπνώσαντες, ἅγιοι,
συνδιελέγεσθε πάντες ὡς ἀληθῶς
καὶ τὴν πίστιν προησπίζατε.

Δεινῆς αἱρέσεως ῥίζαν
τοὺς ἀποτέμνοντας
ἀνάστασιν μὴ εἶναι
τῆς ἀσόφως φασκούσης
καὶ πίστεως κομῶντας θείους καρποὺς
ἐπαινέσωμεν κράζοντες
Ἑπτὰ Ἐφέσιοι Παῖδες, τὴν τῶν νεκρῶν
προδηλοῦτε πᾶσιν ἔγερσιν.

**Δόξα. Ἦχος β΄.**

Χαίρετε ἐν Κυρίῳ, στεφανηφόροι μάρτυρες,
Ἐφέσιοι ἑπτάριθμοι Παῖδες,
οἱ τὸ ὄνομα τοῦ Κυρίου ὁμολογήσαντες
ἐνώπιον Δεκίου·
ὑμεῖς γὰρ ἠξιώθητε
μακροχρόνιον ἀνύσαντες ὕπνον
ἐγερθῆναι αὖθις
τὴν κοινὴν τῶν βροτῶν προτυποῦντες ἀνάστασιν·
μὴ παύσησθε οὖν Χριστῷ πρεσβεύοντες
συναριθμῆσαι καὶ ἡμᾶς τῇ τῶν σῳζομένων μερίδι
ἐν τῇ ἡμέρᾳ τῆς δικαίας Αὐτοῦ
καὶ ἀδεκάστου Κρίσεως.

**Καὶ νῦν. Θεοτοκίον.** Τὴν πᾶσαν ἐλπίδα μου....
**Ἀπόστιχα. Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.**

Στῦλοι θεοειδεῖς,
ἰσάριθμοι σοφίας,
ἑπτὰ Ἐφέσου Παῖδες,

www.tezaurliturgic.ro

ὡς λίθους τοῦ Δεκίου
ἐθραύσατε τὸ φρύαγμα.

**Στίχος.** Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.

Μάρτυρες ἀγλαοὶ
ἑπτάριθμοι Ἐφέσου,
ἐξ ὕπνου ἐγερθέντες
μακροχρονίου πᾶσιν
ἀγγέλετε ἀνάστασιν.

**Στίχος.** Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.

Ὄντως ὑπερφυῶς
ἠγέρθητε ἐξ ὕπνου,
ἵνα σαρκὸς μερόπων
καὶ τῆς ψυχῆς τοὺς πάντας
διδάξητε ἀνάστασιν.

**Δόξα. Τριαδικόν.**

Πάτερ πανσθενουργὲ
σὺν Λόγῳ Σου συνθρόνῳ
βροτῶν λαβόντι σάρκα
καὶ Πνεύματί Σου θείῳ,
Τριὰς ἁγία, δόξα Σοι.

**Καὶ νῦν. Θεοτοκίον.**

Μῆτερ τοῦ ἐκ νεκρῶν
σαρκὶ ἐξαναστάντος
Θεοῦ Υἱοῦ, σοὺς δούλους

ἀνάστησον πεσόντας
εἰς λάκκον ἀπογνώσεως.

Νῦν ἀπολύεις....**τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ καὶ Ἀπόλυσις.**

www.tezaurliturgic.ro

## ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

**Μετὰ τὸν Προοιμιακὸν τὸ " Μακάριος ἀνήρ" εἰς δὲ τὸ "Κύριε ἐκέκραξα" ἱστῶμεν στίχους στ´ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.**

**Ἦχος δ´. Ἔδωκας σημείωσιν.**

Δεῦτε, ἀνυμνήσωμεν,
πιστοί, λυχνίαν ἑπτάφωτον
τὴν φωτίσασαν πέρατα
τοῦ κόσμου πυρσεύμασι
τῆς αὐτῶν ἀνδρείας
πόθῳ ἐκβοῶντες·
Ἐφέσου Παῖδες ἐκλεκτοί,
οἱ τοῦ Δεκίου μανίαν θλάσαντες
καὶ πίστιν κραταιώσαντες
Χριστοῦ τὴν θείαν καὶ ἄμωμον,
σκοτομήνην σκεδάσατε
τὴν ἡμῶν, ἀθλοφόρητοι.

Λίθοι οἱ πολύτιμοι
τῆς εὐσεβείας τιμάσθωσαν,
γενναιότητος σάπφειροι
καὶ ῥώμης ἀδάμαντες,
Παῖδες τῆς Ἐφέσου
οἱ ἑπτά, ὡς πᾶσιν
διακηρύττοντες τρανῶς
τὴν ἐκ τοῦ τάφου νεκρῶν ἀνάστασιν

καὶ τῷ Χριστῷ πρεσβεύοντες
ὑπὲρ ἡμῶν τῶν ἐν ᾄσμασι
τὴν αὐτῶν πανακήρατον
ἐκτελούντων πανήγυριν.

Ὥσπερ οἱ ἰσάριθμοι

www.tezaurliturgic.ro

αὐτῶν τυράννους κατῄσχυναν
Μακκαβαῖοι οἱ ἄλκιμοι
Χριστὸν ὡμολόγησαν
πρὸ ἀνομοτάτου
καὶ στυγνοῦ Δεκίου
ἐν τῇ Ἐφέσῳ οἱ ἑπτὰ
γενναῖοι Παῖδες καὶ ὑπὲρ ἔννοιαν
ἐν ἄντρῳ ἐκοιμήθησαν
θῦσαι εἰδώλοις οἱ πάντιμοι
ἀποφεύγοντες χάριτι
τοῦ τὰ πάντα δεσπόζοντος.

Παῖδες οἱ ἑπτάριθμοι
Θεοῦ προστάξει ἀνέστησαν
οἱ ἐν ἄντρῳ ὑπνώσαντες
μακροὺς χρόνους, θαύματος
ὢ τοῦ παραδόξου,
καὶ τῶν ἐνδυμάτων
παραβλαβέντων οὐδαμῶς
αὐτῶν ὡμίλουν ἀλλήλοις λέγοντες
ἀνδρείως στῶμεν, ἅπαντες
ὦ ἀδελφοί, καὶ εὐγένειαν
μὴ προδῶμεν τῆς πίστεως
τοῦ Χριστοῦ Παντοκράτορος.

Ἀπελθὼν Ἰάμβλιχος
ὀνῆσαι ἄρτον εἰς Ἔφεσον
ἐν τῇ πόλει ἐθαύμαζεν
ὁρῶν τὸ πανάγιον
τοῦ Σταυροῦ σημεῖον
καὶ ἐνηλλαγμένους
κατοίκους πόλεως αὐτῆς,

ἐδόκει βλέπειν, ὁ θεῖος, ὄραμα
καὶ δοὺς πωλοῦσι νόμισμα,
ὅπερ κατεῖχεν, ἐξίστατο
βλέπων τούτους ἐλέγχοντας
ἀργυρίου τὸ γνήσιον.

Χαίρετε, ἑπτάριθμοι
Ἐφέσου Παῖδες πανάγιοι,
τῶν ἀνθρώπων εἰς πίστωσιν

www.tezaurliturgic.ro

κοινῆς ἀναστάσεως
οἱ ἐξεγερθέντες
ἐκ μακροχρονίου
ὕπνου καὶ Ἄνακτα σεπτὸν
σὺν Ἐπισκόπῳ χαρᾶς ἐμπλήσαντες
τοὺς προσδοκῶντας σώματος
καὶ τῆς ψυχῆς ἐξανάστασιν,
ἀθληταί, οἱ μετέχοντες
νῦν ἀφθίτου λαμπρότητος.

**Δόξα. Ἦχος πλ. β΄.**

Θωρακισθέντες τὴν τοῦ Χριστοῦ πανοπλίαν
τὸν εἰδωλόφρονα Δέκιον κατετροπώσατε
καὶ νίκης βραβεῖα ἤρατε,
Παῖδες Ἐφέσου ἑπτάριθμοι·
ὑμᾶς γὰρ Κύριος δοξάσας
ἀναστάσεως τῶν νεκρῶν εἰκόνας ἀνέδειξε
θαυμαστῶς ἀναστήσας ἐξ ὕπνου μακροχρονίου·
διὸ νῦν τῇ πανσθενουργῷ Τριάδι παραγενόμενοι
μὴ ἐλλίπητε ἀεὶ ὑπὲρ πάντων δεόμενοι
τῶν τιμώντων πόθῳ
ὑμῶν μνήμην τὴν πάμφωτον.

**Καὶ νῦν. Θεοτοκίον.** Τίς μὴ μακαρίσει σε, Παναγία Παρθένε,...

**Εἴσοδος.** Φῶς ἱλαρόν. **Τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.**

**Προφητείας Ἰεζεκιὴλ τὸ Ἀνάγνωσμα.**
**(Κεφ. λζ΄ 1 - 14 )**

Ἐγένετο ἐπ' ἐμὲ Χεὶρ Κυρίου καὶ ἐξήγαγέ με ἐν Πνεύματι Κύριος καὶ ἔθηκέ με ἐν μέσῳ πεδίου καὶ τοῦτο ἦν μεστὸν ὀστέων ἀνθρωπίνων· καὶ περιήγαγέ με ἐπ' αὐτὸ κυκλόθεν κύκλῳ καὶ ἰδοὺ πολλὰ σφόδρα ἐπὶ προσώπου τοῦ πεδίου, ξηρὰ σφόδρα. Καὶ εἶπε πρός με· Υἱὲ ἀνθρώπου, εἰ ζήσεται τὰ ὀστέα ταῦτα;Καὶ εἶπα· Κύριε, Κύριε, σὺ ἐπίστασαι ταῦτα. Καὶ εἶπε πρός με· Προφήτευσον ἐπὶ τὰ

www.tezaurliturgic.ro

ὀστᾶ ταῦτα καὶ ἐρεῖς αὐτοῖς τὰ ὀστᾶ τὰ ξηρά, ἀκούσατε λόγον Κυρίου. Τάδε λέγει Κύριος τοῖς ὀστέοις τούτοις Ἰδοὺ ἐγὼ φέρω ἐφ' ὑμᾶς πνεῦμα ζωῆς καὶ δώσω ἐφ' ὑμᾶς νεῦρα καὶ ἀνάξω ἐφ' ὑμᾶς σάρκας καὶ ἐκτενῶ ἐφ' ὑμᾶς δέρμα καὶ δώσω πνεῦμά μου εἰς ὑμᾶς καὶ ζήσεσθε· καὶ γνώσεσθε ὅτι ἐγώ εἰμι Κύριος. Καὶ προεφήτευσα, καθὼς ἐνετείλατό μοι· καὶ ἐγένετο ἐν τῷ ἐμὲ προφητεῦσαι καὶ ἰδοὺ σεισμὸς καὶ προσήγαγε τὰ ὀστᾶ ἑκάτερον πρὸς τὴν ἁρμονίαν αὐτοῦ. Καὶ εἶδον καὶ ἰδοὺ ἐπ' αὐτὰ νεῦρα καὶ σάρκες ἐφύοντο καὶ ἀνέβαινεν ἐπ' αὐτὰ δέρμα ἐπάνω καὶ πνεῦμα οὐκ ἦν ἐν αὐτοῖς. Καὶ εἶπε πρός με· Προφήτευσον ἐπὶ τὸ πνεῦμα, προφήτευσον, υἱὲ ἀνθρώπου, καὶ εἰπὸν τῷ πνεύματι· Τάδε λέγει Κύριος Ἐκ τῶν τεσσάρων πνευμάτων ἐλθὲ καὲ ἐμφύσησον εἰς τοὺς νεκροὺς τούτους καὶ ζησάτωσαν. Καὶ προεφήτευσα, καθότι ἐνετείλατό μοι· καὶ εἰσῆλθεν εἰς αὐτοὺς τὸ πνεῦμα καὶ ἔζησαν καὶ ἔστησαν ἐπὶ τῶν ποδῶν αὐτῶν, συναγωγὴ πολλὴ σφόδρα. Καὶ ἐλάλησε Κύριος πρός με λέγων· Υἱὲ ἀνθρώπου, τὰ ὀστᾶ ταῦτα πᾶς οἶκος Ἰσραήλ ἐστι καὶ αὐτοὶ λέγουσι· Ξηρὰ γέγονε τὰ ὀστᾶ ἡμῶν, ἀπόλωλεν ἡ ἐλπὶς ἡμῶν, διαπεφωνήκαμεν. Διὰ τοῦτο προφήτευσον καὶ εἰπὸν πρὸς αὐτούς Τάδε λέγει Κύριος Ἰδοὺ ἐγὼ ἀνοίγω τὰ μνήματα ὑμῶν καὶ ἀνάξω ὑμᾶς ἐκ τῶν μνημάτων ὑμῶν καὶ εἰσάξω ὑμᾶς εἰς τὴν γῆν τοῦ Ἰσραήλ, καὶ γνώσεσθε ὅτι ἐγώ εἰμι Κύριος ἐν τῷ ἀνοῖξαί με τοὺς τάφους ὑμῶν τοῦ ἀναγαγεῖν με ἐκ τῶν τάφων τὸν λαόν μου. Καὶ δώσω πνεῦμά μου εἰς ὑμᾶς καὶ ζήσεσθε καὶ θήσομαι ὑμᾶς ἐπὶ τὴν γῆν ὑμῶν καὶ γνώσεσθε ὅτι ἐγὼ Κύριος λελάληκα καὶ ποιήσω λέγει Κύριος.

**Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα.**
**(Κεφ. μγ´ 9 - μδ´ 1 )**

Τάδε λέγει Κύριος Πάντα τὰ ἔθνη συνήχθησαν ἅμα καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς; Ἢ τὰ ἐξ ἀρχῆς τίς ἀκουστὰ ποιήσει ὑμῖν; Ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν καὶ δικαιωθήτωσαν καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες καὶ ἐγὼ μάρτυς Κύριος ὁ Θεὸς καὶ ὁ παῖς, ὅν ἐξελεξάμην· ἵνα γνῶτε καὶ πιστεύσητε καὶ συνῆτε ὅτι ἐγώ εἰμι. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεὸς καὶ μετ' ἐμὲ οὐκ ἔσται. Ἐγώ εἰμι ὁ Θεὸς καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σῴζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. Ὑμεῖς ἐμοὶ μάρτυρες καὶ ἐγὼ Κύριος ὁ Θεός ὅτι ἀπ' ἀρχῆς ἐγώ εἰμι καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος. Ποιήσω καὶ τίς ἀποστρέψει αὐτό; Οὕτω λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ἡμᾶς, ὁ ἅγιος τοῦ Ἰσραήλ.

www.tezaurliturgic.ro

**Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.**
**(Κεφ. γ´ 1 - 9)**

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτὸν συνήσουσιν ἀλήθειαν καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

## ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ
### Ἰδιόμελα

**Ἦχος α´.**

Εὐφραίνου ἐν Κυρίῳ, ἡ τοῦ Χριστοῦ Ἐκκλησία
τοὺς ἐν Ἐφέσῳ Ἑπτὰ Παῖδας μακαρίζουσα
ὡς ἀναστάσεως προεικονίσεις
καὶ ἀνδρείας στηλογραφήματα·
θαυμαστῶς γὰρ οὗτοι θεόθεν ἐδοξάσθησαν
ἐξ ὕπνου μακροχρονίου ἀναστάντες

καὶ πλάνην αἱρετικῶν
τῇ αὐτῶν παραδόξῳ ἐγέρσει καταπατήσαντες·
ζωῆς οὖν τυχόντες τῆς ἀλήκτου
καὶ τῆς υἱοθεσίας τὸ δηνάριον λαβόντες
τῷ Πατρὶ καὶ Θεῷ ἀεὶ πρεσβεύουσιν
ὑπὲρ σωτηρίας τῶν ψυχῶν ἡμῶν.

**Ἦχος β´.**

Δέκιος ὁ παράφρων ἐκέλευσεν

www.tezaurliturgic.ro

ἐμφραγῆναι τὸ στόμιον τοῦ σπηλαίου,
ἐν ᾧ τῷ Παμβασιλεῖ τὰς ψυχὰς ὑμῶν ἀπεθέσατε,
Παῖδες Ἐφέσου ἑπτάριθμοι·
τὰς ἀργυρὰς αὐτὰς σφραγῖδας ἰδὼν ὁ τῆς πόλεως ἐπίσκοπος
μετὰ τὴν μακροχρόνιον ὑμῶν παράδοξον ἐξανάστασιν
καὶ ὑμᾶς ἔνδον τοῦ σπηλαίου καθημένους
Θεὸν ἐδόξασεν·
Αὐτὸν οὖν καὶ ἡμᾶς ἀπαύστως δοξάζειν
τοὺς τὴν νεκρῶν προσδοκῶντας ἀνάστασιν
ἀξιώσατε, ἅγιοι,
τῆς ὀρθοδόξου ἡμῶν πίστεως σεπτὰ θησαυρίσματα.

**Ἦχος γ΄.**

Ἀφθαρσίας ἐνδυσάμενοι στολὴν χρυσοΰφαντον,
Ἰάμβλιχε, Διονύσιε, Ἰωάννη, Κωνσταντῖνε
καὶ σὺν Ἐξακουστωδιανῷ καὶ Μαξιμιλιανῷ, Μαρτινιανὲ θεῖε,
πίστιν τὴν νεκρὰν ἐκδιώκετε
καὶ ζῶσαν καὶ ἐλευθέραν Ἐκκλησίαν
προδιαγράφετε τὴν προσδοκῶσαν τῶν νεκρῶν ἐξανάστασιν·
Παῖδες Ἐφέσου ἑπτάριθμοι,
οἱ ὀφρῦν τοῦ Δεκίου συντρίψαντες
καὶ ζωῆς ἐπιτυχόντες τῆς κρείττονος καὶ ἀϊδίου
μὴ παύσησθε δυσωποῦντες
τὸν ἀναστάντα ἐκ τάφου τριήμερον Κύριον
ἐγεῖραι ἡμᾶς τοὺς πεπτωκότας εἰς χάος ἀπογνώσεως
καὶ ἀξιῶσαι τῆς δεξιᾶς τυχεῖν μερίδος τῶν σῳζομένων.

**Ἦχος δ΄.**

Οἱ τοῦ κόσμου ὑπερφρονήσαντες ἐν νεαρᾷ ἡλικίᾳ
καὶ τὰ φθαρτὰ καὶ μάταια παριδόντες, Ἐφέσου Παῖδες,
ἀποθανόντες ἐκτὸς φθορᾶς ἔμειναν, οἱ ἀοίδιμοι·
ὅθεν μετὰ πλείονας χρόνους ἐξαναστάντες
ἅπασαν ἐνέθαψαν αἱρετικῶν γνώμην
διαλαλούντων μὴ εἶναι ἀνάστασιν·
αὐτοὺς καὶ ἡμεῖς ἐν αἰνέσει σήμερον, πιστῶν χορεῖαι, μακαρίσωμεν
Χριστὸν δοξολογοῦντες τὸν αὐτοὺς ἀντιδοξάσαντα

www.tezaurliturgic.ro

καὶ πρεσβευτὰς ἡμῶν θερμοτάτους ἀναδείξαντα.

**Δόξα. ὁ αὐτός.**

Τοὺς νεκρωθέντας τῷ σώματι τῷ βροτείῳ
καὶ πρὸ τῆς κοινῆς ἀναστάσεως
παραδόξως ἐξαναστάντας,
ἑπτὰ Παῖδας τῆς Ἐφέσου, οἱ πιστοί, εὐσχημόνως μακαρίσωμεν·
οὗτοι γὰρ ἱερεῖα πανάμωμα ὀφθέντες τῆς πίστεως
αἱρετικοὺς ἄφρονας ἔδειξαν τῇ αὐτῶν ἐγέρσει
καὶ δόξης ἔτυχον ἀφθίτου ἐν οὐρανίοις σκηνώμασιν·
ὅθεν τὴν αὐτῶν μνήμην σήμερον ἑορτάζοντες
καὶ τὰς θεοπειθεῖς αὐτῶν πρὸς Κύριον ἐκζητοῦντες πρεσβείας
Χριστὸν τὸν ἐκ τάφου τριήμερον ἀναστάντα δοξάσωμεν.

**Καὶ νῦν. Θεοτοκίον.** Ἐκ παντοίων κινδύνων τοὺς δούλους σου.....

**Εἰς τὸν Στίχον. Στιχηρὰ Προσόμοια.**
**Ἦχος πλ. α΄ Χαίροις, ἀσκητικῶν.**

Χαίροις, Ἐξακουστωδιανέ,
Μαξιμιλιανέ, Ἰάμβλιχε πάνσεπτε,
πανένδοξε Κωνσταντῖνε,
σοφὲ Μαρτινιανέ,
Ἰωάννη σῶφρον,
Διονύσιε,
λυχνία ἑπτάφωτε

ἀθλοφόρων τῆς πίστεως,
ἡ ταῖς ἀκτῖσιν
εὐψυχίας φωτίσασα
τὴν ὑφήλιον
καὶ σκεδάσασα ζόφωσιν
τῶν λατρευόντων εἴδωλα·
διὸ νῦν, γηθόμεναι
τῶν χριστωνύμων χορεῖαι,
ὑμῶν τὴν μνήμην, μακάριοι,
ὁπλῖται Κυρίου,

www.tezaurliturgic.ro

καταστέφομεν εὐήχοις
ᾠδαῖς καὶ ᾄσμασι.

**Στίχος.** Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.

Χαίροις, Ἐφέσου Παίδων ἑπτάς,
οἱ τῷ Θεῷ καὶ Λυτρωτῇ πειθαρχήσασα
καὶ φρύαγμα τοῦ Δεκίου
τοῦ φαύλου καὶ μιαροῦ
σῇ λαμπρᾷ ἐνστάσει
καὶ στεῤῥότητι
τῆς γνώμης συντρίψασα·
ὅθεν τὰ ἀξιώματα
καὶ πᾶσαν δόξαν
κοσμικὴν ἀπωσάμενοι,
γενναιότατοι,
βασιλείας ἐτύχετε
τῶν οὐρανῶν πρεσβεύοντες
Χριστῷ τῷ Παντάνακτι,
τῷ ἀναστάντι ἐκ τάφου,
τοὺς πεπτωκότας εἰς ἄβυσσον
δεινῆς ἀπωλείας
ἀναστῆσαι καὶ ποιῆσαι
υἱοὺς τῆς χάριτος.

**Στίχος.** Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.

Βλέπων τὴν Ἐκκλησίαν Χριστοῦ
ταραττομένην ἐκ τῆς πλάνης αἱρέσεως
ἀνάστασιν τῆς μὴ εἶναι
φασκούσης, οἴμοι, νεκρῶν
ἄναξ ὁ θεόφρον
Θεοδόσιος
ἐθρήνει καὶ Κύριον
ἐκτενῶς καθικέτευε
ἀποκαλῦψαι
τούτῳ πᾶσαν ἀλήθειαν,

www.tezaurliturgic.ro

θεοδόξαστοι,
νεανίσκοι ἑπτάριθμοι·
ὅθεν σαφῶς ἀνέστησεν
ἐξ ὕπνου ὁ Ὕψιστος
μετὰ παρέλευσιν πλείστων
ἐτῶν πρὸς πίστωσιν ἄσειστον
ἐγέρσεως πάντων
τῶν βροτῶν ὑμᾶς, Ἐφέσου
ὦ παιδομάρτυρες.

**Δόξα. Ἦχος πλ. δ΄.**

Ταῖς αὐγαῖς τῆς ὑπερουσίου Τριάδος πυρσευθέντες
σκοτομήνην φθαρτότητος καὶ θανάτου αἰωνίου ἐλίπετε,
Παῖδες Ἐφέσου ἑπτάριθμοι·
ὅθεν τὴν σεπτὴν ὑμῶν μνήμην σήμερον γεραίροντες
τὰς ὑμῶν πρὸς Κύριον πρεσβείας ἐκδεχόμεθα
πρὸς βίον κρείττονα καὶ χαρὰν τὴν αἰώνιον.

**Καὶ νῦν. Θεοτοκίον.** Δέσποινα, πρόσδεξαι....

Νῦν ἀπολύεις...**Τὸ Τρισάγιον καὶ τὸ Ἀπολυτίκιον.**
**Ἦχος πλ΄ α΄. Τὸν συνάναρχον Λόγον.**

Ἀναστάντες ἐκ τάφου πρὸ τῆς ἐγέρσεως,
ἑπτὰ Ἐφέσιοι Παῖδες,
θεοειδεῖς, τῆς κοινῆς

τὴν ἀνάστασιν βροτῶν ἐβεβαιώσατε·
θεία ἐξ ὕπνου γὰρ ῥοπῇ,
ἀθληταί, πολυετοῦς
ἠγέρθητε ἐν σπηλαίῳ
νεκρῶν τὴν μέλλουσαν πᾶσι
κοινὴν δηλοῦντες ἐξανάστασιν.

**Θεοτοκίον.** Χαῖρε, πύλη Κυρίου ἡ ἀδιόδευτος.

**Ἀπόλυσις.**

www.tezaurliturgic.ro

## ΕΝ ΤΩ ΟΡΘΡΩ

**Μετὰ τὸν Ἑξάψαλμον τὸ Ἀπολυτίκιον, ὡς ἐν τῷ Μεγάλῳ Ἑσπερινῷ, μετὰ δὲ τὴν α΄ Στιχολογίαν Κάθισμα.**

**Ἦχος α΄. Τὸν τάφον Σου, Σωτήρ.**

Ἐφέσιοι ἑπτὰ
ἀθληταὶ νεανίαι,
δι᾽ ὧν ὑπερφυῶς
τῆς αἱρέσεως δόγμα
διώκεται, ἅγιοι,
καὶ ἐκλάμπει ἀλήθεια
ἀναστάσεως
τῆς τῶν ψυχῶν καὶ σωμάτων,
ἀναστήσατε
ἡμᾶς βαράθρου κακίας
ὑμῶν παρακλήσεσι.

**Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.**

Τῶν πάντων Ποιητὴν
καὶ Δεσπότην τεκοῦσα
ἀφράστως τῆς φθορᾶς

ἠλευθέρωσας γένος
βροτῶν καὶ ἀνέβλυσας
ῥεῖθρα αἰωνιότητος
τοῖς δοξάζουσιν
ἀεί σε ὡς Θεοτόκον,
Μητροπάρθενε,
εὐλογημένη Μαρία,
χαρᾶς ἡμῶν πρόξενε.

**Μετὰ τὴν β΄ Στιχολογίαν Κάθισμα.**
**Ἦχος δ΄. Ταχὺ προκατάλαβε.**

Ζωὴ καὶ ἀνάστασις
τοῖς Ἐφεσίων παισὶ

www.tezaurliturgic.ro

τοῖς ὁμολογήσασι
Χριστοῦ τὴν κλῆσιν τρανῶς
ἐδόθη ὡς δώρημα·
ὅθεν αὐτοὶ θανέντες
ἐξανέστησαν ξένως
ᾄδοντες τῷ Κυρίῳ
χαριστήριον αἶνον,
ζωῆς καὶ τοῦ θανάτου ἀεὶ
τῷ κυριεύοντι.

**Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.**

Χριστὸν σωματώσασα
Θεοῦ τὸν Λόγον, ἁγνή,
ἐθέωσας σύστημα
μεγαλυνόντων βροτῶν
ἀεὶ σὰ θαυμάσια·
ὅθεν καὶ τῆς Ἐφέσου
οἱ ἑπτάριθμοι Παῖδες
ἤθλησαν ἀνενδότως
τοῦ Υἱοῦ σου ἀγάπη
τοῦ νέμοντος ἀξίως πιστοῖς
ἄφθαρτον στέφανον.

**Μετὰ τὸν Πολυέλεον Κάθισμα.**
**Ἦχος γ΄. Τὴν ὡραιότητα.**

Χορὸν ἑπτάριθμον, σέλας ἑπτάφωτον,
πηγὴν ἑπτάκρουνον, τὴν ἀναβλύζουσαν
τῆς ἀναστάσεως νεκρῶν γλυκύτατον ὄντως ὕδωρ
καὶ τερπνὸν ἑπτάκλωνον δένδρον ἄνθη μυρίπνοα
φέρον θείας χάριτος ἐγκωμίοις νῦν στέψωμεν
βοῶντες τῆς Ἐφέσου τῶν Παίδων, χαῖρε, ἑπτὰς ἡγιασμένη.

**Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.**

Τὴν σκοτισθεῖσάν μου ψυχὴν καταύγασον
φωτὶ τῆς χάριτος τοῦ θείου Τόκου σου,

www.tezaurliturgic.ro
ἁγνὴ Παρθένε, Μαριάμ, ἐλπὶς τῶν ἀπηλπισμένων,
καὶ ἀχλὺν ἀπέλασον τῶν ἀπείρων πταισμάτων μου,
ὅπως εὕρω ἔλεος ἐν τῇ ὥρᾳ τῆς Κρίσεως
καὶ πόθῳ ἀσιγήτως βοῶ σοι· Χαῖρε, ἡ Κεχαριτωμένη.

**Τὸ α΄ Ἀντίφωνον τοῦ δ΄ ἤχου καὶ τὸ Προκείμενον.**
Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.
**Στίχος.** Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.

**Εὐαγγέλιον κατὰ Ἰωάννην (Κεφ. ιε΄ 17 -ιστ΄ 2 ).**
Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· Ταῦτα ἐντέλλομαι ὑμῖν..
**Ὅρα τὸ εἰς τὴν Λειτουργίαν τοῦ ἁγίου Γεωργίου.**

**Ὁ Ν΄ Ψαλμός.**
**Δόξα.** Ταῖς τῶν ἀθλοφόρων πρεσβείαις, Ἐλεῆμον,...
**Καὶ νῦν.** Ταῖς τῆς Θεοτόκου πρεσβείαις, Ἐλεῆμον,...

**Ἰδιόμελον. Ἦχος πλ. β΄.**
**Στίχος.** Ἐλεῆμον, ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός Σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν Σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Τοὺς ἀγαπήσαντας ὑπὲρ τῆς νεότητος ἀκμὴν Κύριον,
ἑπτὰ Ἐφέσου Παῖδας, τοὺς ἀθλήσεως δρόμον ἀνύσαντας

ἐγκωμίων ἄνθεσι καταστέψωμεν·
οὗτοι γὰρ ὁμοῦ ἐν σπηλαίῳ κλεισθέντες
προσηύξαντο τοῦ δεσμοῦ λυθῆναι τοῦ σώματος
καὶ μὴ παραδοθῆναι Δεκίῳ τῷ εἰδωλόφρονι·
ὑπνώσαντες οὖν μακροχρονίως
χάριτι θείᾳ ἐξανέστησαν,
ἵνα πάντας διδάξωσι τὴν τῶν νεκρῶν ἀνάστασιν,
ἣν καὶ ἡμεῖς προσδοκῶμεν γηθόμενοι.

Σῶσον, ὁ Θεός, τὸν λαόν Σου....

**Εἶτα ὁ Κανὼν τῶν Ἁγίων, οὗ ἡ ἀκροστιχίς·**

**" Ὑπάρχει ὄντως νεκρῶν ἐξανάστασις. Χ. Μ. Μ. "**

www.tezaurliturgic.ro

**Ὠδὴ α΄. Ἦχος δ΄. Ἀνοίξω τὸ στόμα μου.**

Ὑπάρχει ἀνάστασις
μερόπων ἐβεβαιώσατε,
Ἐφέσου ἑπτάριθμοι
Παῖδες, ἡμᾶς θαυμαστῶς,
πολυχρόνιον
οἱ ἐν σπηλαίῳ ὕπνον
ὁμοῦ διανύσαντες,
μάρτυρες ἄλκιμοι.

Παράδοξον θέαμα
ὑμῶν κοινῆς ἀναστάσεως
κατεῖδον Ἐφέσιοι,
Παῖδες ἑπτά, ἱεροί,
καὶ θαυμάζοντες
σὺν Βασιλεῖ ἐκθύμως,
ὑπάρχει ἀνάστασις
πάντων, ἐκραύγαζον.

Ἀγγέλων συνέστιοι,
Ἐφέσου Παῖδες ἑπτάριθμοι,

νεκρὰν ἐκδιώκετε
πίστιν καὶ φθοροποιὸν
καὶ πρεσβεύετε
ὑπὲρ τῶν προσδοκόντων
κοινὴν ἐξανάστασιν
τῷ Παντοκράτορι.

**Θεοτοκίον**

Ῥοπῇ θείᾳ ἤγειρεν
ἐκ τοῦ θανάτου ὁ Τόκος σου,
Θεάνθρωπος Κύριος,
Παῖδας Ἐφέσου ἑπτά,
ὁ ἐκ μνήματος
ἀναστηθείς, Παρθένε,
δωρήσασθαι ἅπασι
βίωσιν ἄληκτον.

www.tezaurliturgic.ro

**Ὠδὴ γ΄. Τοὺς σοὺς ὑμνολόγους.**

Νεκρῶν τὴν ἀνάστασιν ἐκ τάφου
ἐξ ὕπνου ἡ ἔγερσις ὑμῶν
προεικονίζει ἄριστα,
Ἐφέσου Παῖδες τίμιοι,
τὸ δόγμα οἱ συντρίψαντες
τῶν ἀρνητῶν ἀναστάσεως.

Τυράννου τὴν δύναμιν Δεκίου
καθείλετε, μάρτυρες ἑπτά,
οἱ τοῦ Χριστοῦ πυρσεύοντες
τὴν Ἐκκλησίαν ἅπασαν
φωστῆρες ὡς ἑπτάφωτοι
φαιδραῖς αὐγαῖς γενναιότητος.

Ὡς θείους Ἐφέσου νεανίας
καὶ μάρτυρας πίστεως στεῤῥοὺς
ὑμᾶς, ἑπτὰ μακάριοι,

τιμῶμεν ἀναστάσεως
τὸ ἀληθὲς πιστούμενοι
μετὰ τὴν κοίμησιν ζήσαντες.

**Θεοτοκίον**

Σωτῆρα Θεὸν ἀποτεκοῦσα
ἀφράστως, Παρθένε ἀγαθή,
ἀπεγνωσμένων γέγονας
ταχεῖα ἐπανόρθωσις,
καμνόντων καταφύγιον
καὶ θλιβομένων ἀνάψυξις.

**Κάθισμα. Ἦχος γ΄. Θείας πίστεως.**

Τὸν ἑπτάριθμον χορὸν τῶν Παίδων
τὸν ὑπνώσαντα μακροχρονίως
καὶ ἐξ ὕπνου ἀναστάντα τῇ χάριτι

www.tezaurliturgic.ro

τοῦ θείου Πνεύματος ὕμνοις τιμήσωμεν
ὡς τῆς νεκρῶν ἀναστάσεως ἔσοπτρον
ἀνακράζοντες ἡμᾶς ἐκ βυθοῦ ἐγείρατε
δεινῶν παραπτωμάτων, ἀξιάγαστοι.

**Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.**

Τὴν ἐν σώματι Θεὸν τεκοῦσα
τὸν ἐν σώματι ἀναλλοιώτως,
Θεοτόκε, ὑπεράμωμε Δέσποινα,
ἀλλοιουμένην ψυχήν μου τοῖς πάθεσι
καὶ τοῦ ἐχθροῦ ἐπηρείᾳ συνέτισον,
ἵνα πάντοτε ὁ δείλαιος μεγαλύνω σε
καὶ Τόκον σου δοξάζω τὸν πανάγιον.

**Ὠδὴ δ΄. Ὁ καθήμενος ἐν δόξῃ.**

Νῦν Μαξιμιλιανόν τε
Ἰωάννην, Ἰάμβλιχον,

Κωνσταντῖνον θεῖον,
Μαρτινιανόν, Διονύσιον
καὶ τὸν Ἐξακουστωδιανὸν τὸν πάνσεπτον
καταστέψωμεν
ᾠδαῖς καὶ ᾄσμασι πρέπουσι.

Τὴν ἀνάστασιν μερόπων
προτυποῦντες τὴν πάγκοινον,
Ἐφεσίων Παῖδες
ἀθλοφόροι, ὕπνον ἠνύσατε
ὑπερφυῶς ἐν σπηλαίῳ μακροχρόνιον
καὶ ἠγέρθητε
ὡς ὁ Χριστὸς ἐκ τοῦ μνήματος.

Ὡς τετιμημένους Παῖδας
τῆς Ἐφέσου γεραίρομεν
στέφη μαρτυρίου
τοὺς λαβόντας, θεῖοι ἑπτάριθμοι,
ὑμᾶς βροτῶν αἱ χορεῖαι ἀνακράζοντες
στῦλοι ἄσειστοι

www.tezaurliturgic.ro

ὀρθῶν δογμάτων ὑπάρχετε.

**Θεοτοκίον**

Σὲ κεκτήμεθα, Παρθένε,
ἀῤῥαγὲς περιτείχισμα
χριστωνύμων δῆμοι
καὶ καταφυγὴν καὶ κραταίωμα
καὶ θαυμασίων σου πλῆθος μεγαλύνοντες
τὸν Παντάνακτα
Υἱὸν σου πόθῳ δοξάζομεν.

**Ὠδὴ ε΄. Ἐξέστη τὰ σύμπαντα.**

Νικήσαντες, ἅγιοι,
ἑπτὰ Εφέσου μάρτυρες,
πλάνην τῶν εἰδώλων καὶ τὸ δόγμα

μὴ πιστευόντων
τὴν ἐκ τοῦ τάφου νεκρῶν
ἀνάστασιν τὴν μελλοντικὴν,
πρότυπα γεγόνατε
τῆς ἡμῶν ἀναστάσεως.

Ἐναπονυστάξαντες
μικρὸν πρὸ τῆς συνάξεως
ἐπισκόπων ἅμα καὶ ἀρχόντων
τῶν θαυμαζόντων
ὑμῶν ὀφθαλμοφανῆ
ἀνάστασιν ὄντως ἐκ νεκρῶν
πρὸς Χριστόν, ἑπτάριθμοι
Παῖδες, ἐξεδημήσατε.

Κυρίου ὡς θύματα
καὶ ἱερεῖα πάνσεπτα,
Παῖδες ἀθλοφόρητοι Ἐφέσου,
ὑμᾶς τιμῶμεν
τοὺς νεκρωθέντας σαφῶς

www.tezaurliturgic.ro

τῷ σώματι καὶ πρὸ τῆς κοινῆς
τῶν βροτῶν ἐγέρσεως
ἀναστάντας, ἑπτάριθμοι.

**Θεοτοκίον**

Ῥεόντων, Μητρόθεε,
φθοράν με καταξίωσον
παντελῶς, Παρθένε, ἀποκροῦσαι
καὶ τῶν μενόντων
ποθῆσαι ἅπαν τερπνόν,
τὸν σοὶ καταφεύγοντα ἀεὶ
ὁλοψύχως, Δέσποινα,
Θεοτόκε πανάμωμε.

**Ὠδὴ στ΄. Τὴν θείαν ταύτην.**

Ὡς ἀθληταὶ καρτερόψυχοι
ἀλήκτου χαρμονῆς ἠξιώθητε
καὶ στέφος ἄφθαρτον
ἀθανασίας ἐδράξασθε,
πανάλκιμοι Ἐφέσου Παῖδες, ἀήττητοι.

Νενικηκότες, ἑπτάριθμοι
Ἐφέσου Παῖδες, τοὺς εἰδωλόφρονας
διεκηρύξατε
ὑμῶν τῇ ὄντως, μακάριοι,
ὑπερφυᾷ ἐγέρσει νεκρῶν ἀνάστασιν.

Ἑπτὰ τῆς πίστεως μάρτυρες
Ἐφέσου, ἐν σπηλαίῳ ἐδέξασθε
ταφὴν ὑπνώσαντες
καὶ θείᾳ χάριτι ἅπαντες
ἠγέρθητε δηλοῦντες νεκρῶν ἀνάστασιν.

**Θεοτοκίον**

Ξενίας πάντας ἱκάνωσον
τυχεῖν τῆς ἐν τῷ πόλῳ τοὺς δούλους σου,

www.tezaurliturgic.ro

Θεογεννήτρια,
τοὺς προσδοκῶντας ἀνάστασιν
νεκρῶν καὶ τοῦ αἰῶνος ζωὴν τοῦ μέλλοντος.

**Κοντάκιον. Ἦχος πλ. δ΄. Τῇ Ὑπερμάχῳ.**

Ἁγίους Παῖδας ἑπταρίθμους εὐφημήσωμεν
τοὺς ἐν Ἐφέσῳ τὴν ὀφρῦν Δεκίου θλάσαντας
καὶ ἐν ἄντρῳ πολυχρόνιον ὕπνον ξένως
διανύσαντας ὡς πᾶσιν ἐξανάστασιν
προτυποῦντας τὴν κοινὴν ἀνθρώπων ᾄσμασι
θείοις κράζοντες Παιδομάρτυρες, Χαίρετε.

**Ὁ Οἶκος**

Ἄγγελοι φωτοφόροι
ἀνεδείχθητε, Παῖδες
ἑπτάριθμοι Ἐφέσου, ἀνδρείας
ἀναστάσεως γὰρ τῶν νεκρῶν
ἐκμαγεῖα, θεῖοι ἀθληταί, πέλετε·
διὸ νῦν ὑμῖν κράζομεν
ἀνάστασιν οἱ προσδοκῶντες

Χαίρετε, Παῖδες πνευματοφόροι·
χαίρετε, λύχνοι οἱ φωτοφόροι.

Χαῖρε, μυροθήκη εὐῶδες, Ἰάμβλιχε·
χαῖρε, ῥώμης στήλη, λαμπρὲ Διονύσιε.

Χαῖρε, σκεῦος θείας χάριτος, Ἐξακουστωδιανέ·
χαῖρε, ὄργανον ἐλλάμψεως θείας, Μαρτινιανέ.

Χαῖρε, ὦ Ἰωάννη, ἀθλοφόρων σεμνότης
χαῖρε, ὦ Κωνσταντῖνε, νέων πάντων λαμπρότης.

Χαῖρε, Μαξιμιλιανὲ πάνσοφε·
χαῖρε, ἀνδρείας λύχνε ἑπτάφωτε·

www.tezaurliturgic.ro

Χαίρετε, κρίνα ζωῆς ἀθανάτου·
χαίρετε, μύρα χαρᾶς ἀκηράτου·

Παιδομάρτυρες, χαίρετε.

**Καὶ ἀναγιγνώσκεται τὸ Μηνολόγιον τῆς ἡμέρας, ἤτοι τῆς Δ΄ Αὐγούστου ἢ τῆς ΚΒ΄ Ὀκτωβρίου. Ἐν αὐτῷ λέγομεν·**
Τῇ αὐτῇ ἡμέρᾳ μνήμην τελοῦμεν τῶν Ἁγίων Ὁμολογητῶν Ἑπτὰ Παίδων, τῶν ἐν Ἐφέσῳ, ὧν τὰ ὀνόματα· Ἰάμβλιχος, Διονύσιος, Ἐξακουστωδιανός, Μαρτινιανός, Ἰωάννης, Μαξιμιλιανὸς καὶ Κωνσταντῖνος.

**Στίχοι**

Πλειὰς ἑπτάφωτος Ἐφεσίων Παίδων,
νεκρῶν δεικνύετε ἀνάστασιν πᾶσι.

**Συναξάριον**
Οὗτοι οἱ Ἅγιοι Παῖδες ἦσαν ἐν ταῖς ἡμέραις Δεκίου τοῦ Βασιλέως. Διαβληθέντες εἰς αὐτὸν ὡς χριστιανοί, ὡδηγήθησαν ἐνώπιον αὐτοῦ πρὸς ἀπολογίαν. Αἰτησάμενοι καιρὸν παρ' αὐτοῦ πρὸς τοῦτο διεμοίρασαν τὰ ὑπάρχοντα αὐτῶν τοῖς πένησι καὶ καταφυγόντες εἰς σπήλαιον ἐνεκλείσθησαν ἐν αὐτῷ . Ὁ Βασιλεὺς ἀνακαλύψας τὴν εἴσοδον τοῦ σπηλαίου ἐν τῇ ἀναζητήσει αὐτῶν ἐκέλευσεν αὐτὴν ἐμφραγῆναι. Μετὰ παρέλευσιν ἐτῶν τριακοσίων ἑβδομήκοντα καὶ δύο , ἐν ἐποχῇ ἀκριβῶς καθ' ἣν ἐπὶ Θεοδοσίου τοῦ μικροῦ οἱ αἱρετικοὶ διέβαλλον τὸ δόγμα τῆς ἀναστάσεως, ἐξελθόντες οὗτοι τοῦ σπηλαίου, ὡς ἐξ ὕπνου ἐγερθέντες, διεπίστωσαν τὴν μέλλουσαν τῶν νεκρῶν ἀνάστασιν. Χάριν εἰλήφασι δαψιλῆ θεόθεν θεραπεύειν τοὺς ἐξ ἀϋπνίας τρυχομένους κατωδύνως.
Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

**Ὠδὴ ζ΄. Οὐκ ἐλάτρευσαν.**

Ἀναστάσεως
εἰκόνες ἀνεδείχθητε,
Παῖδες Ἐφέσιοι,

www.tezaurliturgic.ro

στῦλοι ἀνδρείας ἑπτά,
ὡς λίθους οἱ θλάσαντες
αὐτῶν τοῖς ῥήμασι
τοῦ παράφρονος
Δεκίου ἅπαν πρόσταγμα
τὸ μισόθεον, γενναῖοι.

Νόμῳ, ἅγιοι,
ἑπτὰ Ἐφέσου μάρτυρες,
περιφρουρούμενοι
τῷ θείῳ, Παῖδες σεπτοί,
ταφὴν κατεδέξασθε
ἐν ἄντρῳ, ἄφθαρτοι
ἐν ᾧ ὤφθητε
νεκροί, θεομακάριστοι,
στεφανῖται ἀθλοφόροι.

Ἀπαστράπτοντες
ὡς ἀπλανεῖς ἀείφωτοι
ἀστέρες, ἅγιοι,
τοὺς νηχομένους βυθῷ
τῆς πλάνης ἰθύνατε
πρὸς ὅρμον ἄκλυστον
τῆς ἀτέρμονος
ζωῆς, ἑπτὰ τρισόλβιοι
νεανίσκοι τῆς Ἐφέσου.

**Θεοτοκίον**

Σωματώσασα
Θεοῦ τὸν Λόγον, Δέσποινα,
τὴν λύπην ἔπαυσας
θανάτου τῶν χοϊκῶν
καὶ ἤνθησας εὔοσμον
ἄνθος, τὸν Κύριον,
τὴν αἰώνιον
χαρὰν καὶ ἀγαλλίασιν
εἰς Αὐτὸν τῶν πιστευόντων.

**Ὠδὴ η΄. Παῖδας εὐαγεῖς.**

Τάραχον αἱρέσεως ὁ Ἄναξ

www.tezaurliturgic.ro

μὴ φέρων τῆς ἀρνουμένης τὴν ἀνάστασιν
ὁ σεμνὸς ὠδύρετο
καὶ θρηνῶν ἱκέτευε
τὸν Κτίστην δοῦναι τάχιστα
Αὐτῷ ἀπάντησιν·
διόπερ πρὸς ἐνίσχυσιν τούτου
ὁ Θεὸς Ἐφέσου
ἀνέστησε τοὺς Παῖδας.

Ἄρτους ἀπερχόμενος ὀνῆσαι
Ἰάμβλιχος μετὰ τὴν ἐξ ὕπνου ἔγερσιν
καὶ ἐν πύλῃ πόλεως
τὸν Σταυρὸν θεώμενος,
ἐνηλλαγμένα κτίρια

καὶ δρόμους ἔσπευσεν
εἰς σπήλαιον ταχὺ ἐπιστρέψαι
καὶ αὐτοῦ συντρόφοις
τὸ θαῦμα ἀπαγγεῖλαι.

Συνεσχέθη τρόμῳ ὁ τρισμάκαρ
Ἰάμβλιχος ὅτε εἶδεν ἐξελέγχοντας
πωλητὰς ἀργύριον,
ὃ αὐτοῖς παρέδωκε,
καὶ αὐθωρὶ καυγάζοντας
οὗτος θησαύρισμα
ἀνεῦρε, δεῦτε, δήσωμεν τοῦτον,
ἵνα ἡμῖν δείξῃ
τοῦ θησαυροῦ τὸν τόπον.

**Θεοτοκίον**

Ἵλεων ἡμῖν τὸν Ζωοδότην
ἀπέργασαι καὶ Υἱόν σου τὸν πανάγιον
τοῖς σὲ μακαρίζουσι,
Θεοτόκε Δέσποινα,
ὡς ῥυσαμένην ἅπαντας
βροτοὺς τῷ Τόκῳ σου
ἐχθροῦ τῆς τυραννίδος ποθοῦντος

www.tezaurliturgic.ro

ἀποῤῥίψαι πάντας
εἰς λάκκον ἀπωλείας.

**Ὠδὴ θ΄. Ἅπας γηγενής.**

Σπήλαιον ταχὺ
δεικνύων Ἰάμβλιχος
εἰς λόγων πίστωσιν
τῶν αὐτοῦ τῷ ἄρχοντι
καὶ ἐπισκόπῳ
Μαρίνῳ ἔπιθεν
αὐτοὺς δοξάζειν Κύριον
τὸν καταδείξαντα

τὴν ἐκ τάφου
μετὰ μακροχρόνιον
ὕπνον ξένην τῶν Παίδων ἀνάστασιν.

Χάριτι Θεοῦ
ἐναπονυστάξαντες
μικρὸν οἱ ἅγιοι
Παῖδες πρὸ τοῦ ἄρχοντος
καὶ ἐπισκόπου πρὸς τὸν Παντάνακτα
ταχέως ἐξεδήμησαν
τὸν κυριεύοντα
τοῦ θανάτου
καὶ ζωῆς, Θεάνθρωπον,
Ἰησοῦν, Ὅν ἀπαύστως δοξάζομεν.

Μνήμην τὴν σεπτὴν
τιμῆσαι ἐπίσκοπος
ποθῶν, ἑπτάριθμοι,
τὰ ὑμῶν σκηνώματα
ἐν τόπῳ θείῳ σεμνῶς κατέθεσεν
ὑμεῖς ὡς ὑπεδείξατε
αὐτῷ, μακάριοι,

www.tezaurliturgic.ro

δι' ἀμέσου
ὀπτασίας, ὄλβιοι,
καὶ Θεῷ χαίρων ἔπλεξεν αἴνεσιν.

**Θεοτοκίον**

Μῆτερ τοῦ Θεοῦ,
καμίνου τὸ πύρωμα
μεταποιήσαντος
δρόσον εἰς οὐράνιον
καὶ τῶν Ἑβραίων
παῖδας δροσίσαντος
ἑπτά, τῶν ἁμαρτάδων μου

τὸ πῦρ κατάσβεσον
ταῖς ῥανίσι
σῶν θερμῶν ἐντεύξεων
πρὸς Θεὸν καὶ πανάγιον Τόκον σου.

**Ἐξαποστειλάριον. Γυναῖκες.**

Ἰάμβλιχον τιμήσωμεν,
φωσφόρον Διονύσιον,
θεοειδῆ Κωνσταντῖνον,
πανευσθενῆ Ἰωάννην,
σὺν Ἐξακουστωδιανῷ,
σοφῷ Μαξιμιλιανῷ
καὶ Μαρτινιανῷ στεῤῥῷ,
ἑπτὰ ἀρίστους Ἐφέσου
καὶ γενναιόφρονας Παῖδας.

**Θεοτοκίον**

Εὐλόγησον τοὺς δούλους σου,
εὐλογημένη Δέσποινα,
ἡ ἀναβλύσασα κόσμῳ
τὸν ποταμὸν εὐλογίας,

www.tezaurliturgic.ro

Χριστόν, τὸν Ζωοπάροχον
Θεάνθρωπον καὶ Κύριον
περάτων τῶν τῆς κτίσεως
πανευλαβῶς ἐκβοῶμεν,
τῶν χοϊκῶν αἱ χορεῖαι.

**Εἰς τοὺς Αἴνους ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.**
**Ἦχος α΄. Πανεύφημοι μάρτυρες.**

Ἐφέσου ἑπτάριθμον χορὸν
Παίδων εὐφημήσωμεν,
τῆς παρθενίας τὰ λείρια
καὶ τῆς ἀθλήσεως

στύλους τοὺς ἀσείστους
εὐσχημόνως κράζοντες
Δεκίου οἱ πατήσαντες ἔπαρσιν
καὶ τὴν ὑπέρτιμον
τοῦ Χριστοῦ ὁμολογήσαντες
κλῆσιν, πᾶσιν
εἰρήνην βραβεύσατε.

Νεκρῶν τὴν ἀνάστασιν ἀεὶ
πᾶσι καταγγέλετε,
Παῖδες Ἐφέσου ἑπτάριθμοι,
μαρτύρων πρότυπα,
οἱ ἐν τῷ σπηλαίῳ
ὕπνον μακροχρόνιον
ἀνύσαντες καὶ ξένως τῇ χάριτι
Θεοῦ, μακάριοι,
ἐγερθέντες ἵνα στόματα
κακοδόξων
ταχέως σφραγίσητε.

Φανοὶ ἀναστάσεως λαμπροί,
Παῖδες, ἀνεδείχθητε,
οἱ τάχος δόγμα αἱρέσεως
ἀποδιώξαντες

www.tezaurliturgic.ro

καὶ τῆς ἀληθείας
φέγγος καταυγάσαντες,
ψυχῆς δηλούσης ὅτι καὶ σώματος
ἐστὶν ἀνάστασις
καθὰ γέγραπται, πανεύφημοι
ἀθλοφόροι,
καυχήματα πίστεως.

Σεπτὸν Ἐξακουστωδιανόν,
Ἰωάννην ἄλκιμον,
πανευλαβῆ Διονύσιον
ἀνευφημήσωμεν

καὶ σὺν Ἰαμβλίχῳ,
Κωνσταντίνῳ ἔμφρονι,
Μαξιμιλιανῷ οὐρανόφρονι
καὶ τῷ παμμάκαρι
Μαρτινιανῷ κραυγάζοντες
χαῖρε, σμῆνος
μαρτύρων ἑπτάριθμον.

**Δόξα. Ἦχος πλ. α΄.**

Τῆς ἀναστάσεως τὸ φῶς τὸ ἄδυτον καὶ αἰώνιον ἀνατείλαντες
τὴν σκοτείαν τῶν φασκόντων μὴ εἶναι ἀνάστασιν ἐσκεδάσατε,
Παῖδες Ἐφέσου ἑπτάριθμοι·
μὴ οὖν παύσησθε οὐρανόθεν Χριστῷ πρεσβεύοντες
τῷ τριημέρῳ ἐκ τάφου ἀναστάντι
κατατάξαι καὶ ἡμᾶς μετὰ τῶν σῳζομένων
ἐν τῇ ἡμέρᾳ τῆς Κρίσεως.

**Καὶ νῦν. Θεοτοκίον.** Μακαρίζομέν σε, Θεοτόκε Παρθένε,...

**Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.**

.......................................................................................................

## ΕΝ ΤΗ͂Ι ΛΕΙΤΟΥΡΓΙΑ͂Ι

www.tezaurliturgic.ro

**Τὰ Τυπικά, οἱ Μακαρισμοὶ καὶ ἐκ τοῦ Κανόνος τῶν Ἁγίων ἡ γ´ καὶ ἡ στ´ ᾠδή.**

**Ἀπόστολος πρὸς Ἐφεσίους (Κεφ. στ´ 10 -17 ).**
Ἀδελφοί, ἐνδυναμοῦσθε ἐν Κυρίῳ καὶ ἐν τῷ κράτει τῆς ἰσχύος...
**(Ζήτει τῇ Κζ´ Κυριακῇ).**
**Εὐαγγέλιον κατὰ Λουκᾶν (Κεφ. κα´ 12 - 19 ).**
Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· Προσέχετε ἀπὸ τῶν ἀνθρώπων...
**Ὅρα τὸ εἰς τὸν Ὄρθρον τοῦ Ἁγίου Γεωργίου.**

**Κοινωνικόν.** Εἰς μνημόσυνον αἰώνιον.

**Μεγαλυνάριον**

Χαίροις, ὁ ἑπτάφωτος ἀθλητῶν
Ἐφεσίων Παίδων
λύχνος ὄντως ὁ παμφαής,
τὴν κοινὴν ὁ φαίνων
ἀνάστασιν μερόπων
τῷ ἄνακτι καὶ πᾶσι
τοῖς εὐσεβόφροσι.

Ἕτερον

Παῖδες τῆς Ἐφέσου ἑπτὰ κλεινοί,
ξένως οἱ ἐξ ὕπνου
ἐξερθέντες ματὰ μακρεῖς
χρόνους, τοὺς ἐν βίῳ
ἀπαύσως τρυχομένους
ἐξ ἀϋπνίας πάντας
ἀπολυτρώσασθε.

**Δίστιχον**

Ἑπτὰ Παῖδας εἰς μνήμην Ἀγαθαγγέλου,
ἀγαθοῦ λευΐτου, ᾖσε Χαραλάμπης.

www.tezaurliturgic.ro

ΤΕΛΟΣ

ΚΑΙ ΔΟΞΑ

ΤΩ ΜΟΝΩ ΑΛΗΘΙΝΩ ΘΕΩ ΗΜΩΝ